ἅπαντα δ' ἡμῖν ἐϲτι;
(Γε.) ναὶ μὰ τὸν Δία.
⟨Μη.⟩ τὸ γοῦν πρόβατον—μικροῦ τέθνηκε γάρ, τάλαν—
οὐ περιμένει τὴν ϲὴν ϲχολήν. ἀλλ' εἴϲιτε·
κανᾶ πρόχειρα, χέρνιβαϲ, θυλήματα
ποιεῖτε.
⟨Γε.⟩ ποῖ κέχηναϲ, ἐμβρόντητε ϲύ;
Κν. κακοὶ κακῶϲ ἀπόλοιϲθε. ποιοῦϲίν γε με
ἀργόν· καταλιπεῖν γὰρ μόνην τὴν οἰκίαν
οὐκ ἂν δυναίμην. αἱ δὲ Νύμφαι μοι κακὸν
ἀεὶ παροικοῦϲ', ὥϲτε μοι δοκῶ πάλιν
μετοικοδομήϲειν καταβαλὼν τὴν οἰκίαν
ἐντεῦθεν. ὡϲ θύουϲι δ' οἱ τοιχωρύχοι·
κοίταϲ φέρονται, ϲταμνί', οὐχὶ τῶν θεῶν
ἕνεκ' ἀλλ' ἑαυτῶν. ὁ λιβανωτὸϲ εὐϲεβὲϲ
καὶ τὸ πόπανον· τοῦτ' ἔλαβεν ὁ θεὸϲ ἐπὶ τὸ πῦρ
ἅπαν ἐπιτεθέν. οἱ δὲ τὴν ὀϲφῦν ἄκραν
καὶ τὴν χολήν, ὅτι ἔϲτ' ἄβρωτα, τοῖϲ θεοῖϲ
ἐπιθέντεϲ αὐτοὶ τἆλλα καταπίνουϲι. γραῦ,
ἄνοιγε θᾶττον τὴν θύραν. [ποητέ]ον
ἐϲτὶν γὰρ ἡμῖν τἄνδον ὡϲ ἐμοὶ δοκεῖ.

(Γε.) τὸ λεβήτιον, φήιϲ, ἐπιλέλη[ϲθ]ε; παντελῶϲ
ἀποκραιπαλᾶτε. καὶ τί νῦν ποιήϲομεν;
ἐνοχλητέον τοῖϲ γειτνιῶϲι τῶι θεῶι
ἐϲθ' ὡϲ ἔοικε. παιδίον. μὰ τοὺϲ θεοὺϲ